ὀνόματός μου στέλλεσθαι αὐτόν. [6]νόμος ἀληθείας ἦν ἐν τῷ στό- 6
ματι αὐτοῦ, καὶ ἀδικία οὐχ εὑρέθη ἐν χείλεσιν αὐτοῦ· ἐν εἰρήνῃ
κατευθύνων ἐπορεύθη μετ' ἐμοῦ καὶ πολλοὺς ἐπέστρεψεν ἀπὸ ἀδι-
κίας. [7]ὅτι χείλη ἱερέως φυλάξεται γνῶσιν, καὶ νόμον ἐκζητήσουσιν 7
ἐκ στόματος αὐτοῦ, διότι ἄγγελος κυρίου παντοκράτορός ἐστιν.
[8]ὑμεῖς δὲ ἐξεκλίνατε ἐκ τῆς ὁδοῦ καὶ πολλοὺς ἠσθενήσατε ἐν νόμῳ, 8
διεφθείρατε τὴν διαθήκην τοῦ Λευι, λέγει κύριος παντοκράτωρ.
[9]κἀγὼ δέδωκα ὑμᾶς ἐξουδενωμένους καὶ παρειμένους εἰς πάντα 9
τὰ ἔθνη, ἀνθ' ὧν ὑμεῖς οὐκ ἐφυλάξασθε τὰς ὁδούς μου, ἀλλὰ ἐλαμ-
βάνετε πρόσωπα ἐν νόμῳ.

[10]Οὐχὶ θεὸς εἷς ἔκτισεν ὑμᾶς; οὐχὶ πατὴρ εἷς πάντων ὑμῶν; 10
τί ὅτι ἐγκατελίπετε ἕκαστος τὸν ἀδελφὸν αὐτοῦ τοῦ βεβηλῶσαι
τὴν διαθήκην τῶν πατέρων ὑμῶν; [11]ἐγκατελείφθη Ιουδας, καὶ βδέ- 11
λυγμα ἐγένετο ἐν τῷ Ισραηλ καὶ ἐν Ιερουσαλημ, διότι ἐβεβήλωσεν
Ιουδας τὰ ἅγια κυρίου, ἐν οἷς ἠγάπησεν, καὶ ἐπετήδευσεν εἰς θεοὺς
ἀλλοτρίους. [12]ἐξολεθρεύσει κύριος τὸν ἄνθρωπον τὸν ποιοῦντα 12
ταῦτα, ἕως καὶ ταπεινωθῇ ἐκ σκηνωμάτων Ιακωβ καὶ ἐκ προσαγόν-
των θυσίαν τῷ κυρίῳ παντοκράτορι. [13]καὶ ταῦτα, ἃ ἐμίσουν, ἐποι- 13
εῖτε· ἐκαλύπτετε δάκρυσιν τὸ θυσιαστήριον κυρίου καὶ κλαυθμῷ
καὶ στεναγμῷ ἐκ κόπων. ἔτι ἄξιον ἐπιβλέψαι εἰς θυσίαν ἢ λαβεῖν
δεκτὸν ἐκ τῶν χειρῶν ὑμῶν; [14]καὶ εἴπατε Ἕνεκεν τίνος; ὅτι κύ- 14
ριος διεμαρτύρατο ἀνὰ μέσον σοῦ καὶ ἀνὰ μέσον γυναικὸς νεότητός
σου, ἣν ἐγκατέλιπες, καὶ αὐτὴ κοινωνός σου καὶ γυνὴ διαθήκης
σου. [15]καὶ οὐκ ἄλλος ἐποίησεν, καὶ ὑπόλειμμα πνεύματος αὐτοῦ. 15
καὶ εἴπατε Τί ἄλλο ἀλλ' ἢ σπέρμα ζητεῖ ὁ θεός; καὶ φυλάξασθε
ἐν τῷ πνεύματι ὑμῶν, καὶ γυναῖκα νεότητός σου μὴ ἐγκαταλίπῃς·
[16]ἀλλὰ ἐὰν μισήσας ἐξαποστείλῃς, λέγει κύριος ὁ θεὸς τοῦ Ισραηλ, 16
καὶ καλύψει ἀσέβεια ἐπὶ τὰ ἐνθυμήματά σου, λέγει κύριος παντο-
κράτωρ. καὶ φυλάξασθε ἐν τῷ πνεύματι ὑμῶν καὶ οὐ μὴ ἐγκατα-
λίπητε.

[17]Οἱ παροξύνοντες τὸν θεὸν ἐν τοῖς λόγοις ὑμῶν καὶ εἴπατε Ἐν 17
τίνι παρωξύναμεν αὐτόν; ἐν τῷ λέγειν ὑμᾶς Πᾶς ποιῶν πονηρόν,
καλὸν ἐνώπιον κυρίου, καὶ ἐν αὐτοῖς αὐτὸς εὐδόκησεν· καί Ποῦ
ἐστιν ὁ θεὸς τῆς δικαιοσύνης; [1]ἰδοὺ ἐγὼ ἐξαποστέλλω τὸν ἄγγε- 3

5 ονομ.] pr. του A† || 8 πολλους ησθεν. AQW] tr. BSLC | διεφθειρ.] pr. και AW || 9 παρειμενους Q (hoc etiam Sc uoluisse uid. scribens πα pro απε)] απερ(ρ)ιμμ. BS*AWL, παραρεριμμ. C† | ουκ εφυλαξασθε] ου φυλασσεσθε BS† || 10 ουχι 1° — υμας / ουχι 2° — υμων 1°] tr. ScC || 11 διοτι] οτι ScC || 12 εως] + αν ScL | προσαγαγοντων A† | τω > A || 13 εκ κοπων] εκκοπτων S* || 14 οτι] ο AQ || 15 ουκ αλλος] ου καλον BS*†, ου καλως Sc | ειπατε] ειπα S*† | αλλο αλλ QW] αλλ > BSALC | φυλαξεσθε S*W(†) || 16 θεος] + ο παντοκρατωρ θεος A(†) | του > AW* || 17 αυτον] > A, σε C†
3 1 εγω AQWScL] > BS*C: cf. Matth. 11 10 Marc. 1 2 Luc. 7 27